ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΚΕΡΚΥΡΑΣ ΒΑΣΙΛΕΙΟΥ.

Ἡ κατωτέρω νῦν πρῶτον ἐκδιδομένη ἐπιστολὴ τοῦ μητροπολίτου Κερκύρας Βασιλείου ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 208 χειρογράφου τῆς ἐν Μόσχᾳ βιβλιοθήκης τῆς ἱερᾶς Συνόδου. Ἡ ἐπιστολὴ αὕτη δὲν φέρει χρονολογίαν, ἀλλ' ἐκ τοῦ ἐμπεριεχομένου γίνεται δῆλον ὅτι ἐστάλη πρὸς τὸν Πάπαν Ἰννοκέντιον Γ' μετὰ τὴν ἐν ἔτει 1204 συμβᾶσαν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων, καὶ πρὸ τοῦ ἔτους 1215, ὅτε ἡ ἐν Λατεράνῳ σύνοδος συνεκροτήθη· διότι τότε οἱ Ἕλληνες ἀρχιερεῖς ἀπηλαύνοντο τῶν ἀρχιερατικῶν αὐτῶν θρόνων ὑπὸ τῶν ληστρικῶς λεηλατούντων τὰς Ἑλληνικὰς πόλεις Λατίνων καὶ ἀντικαθίσταντο παρανόμως ὑπὸ Λατίνων ἀρχιερέων, οἵτινες καὶ αὐτὸ τὸ ἑλληνιστὶ δοξολογεῖν τὸν Θεὸν ἀπηγόρευον τοῖς Ἕλλησιν. Ἔχει δὲ ἡ ἐπιστολὴ ὧδε.

Ἐπιστολὴ τοῦ πανιερωτάτου μητροπολίτου Κερκύρας Κυρίου Βασιλείου πρὸς τὸν Πάπαν Ῥώμης.

Τῷ ἀξιοπροσκυνήτῳ πατρὶ καὶ ἰσαποστόλῳ Πάπα Ῥώμης Βασίλειος ἐπίσκοπος τῆς ἁγιωτάτης μητροπόλεως Κερκύρας.

Προσκυνητὰ γράμματα τῆς σῆς ἐδεξάμην ἁγιότητος πλήρη Πνεύματος ἁγίου, δεικνῦντα τὸν ζῆλον, ὃν ἔχει ἡ ἁγιωσύνη

σου ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως καὶ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν Χριστοῦ. Ἔλεγε γὰρ τὰ γράμματα, ὅτι τὸν ἀμπελῶνα Κυρίου Σαβαὼθ παρασκευάζουσι κτήνη ἀποκαθεῖλαι· καὶ διελάλησεν ἡ ἁγιότης σου σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι κατὰ τὴν τῶν ἁγίων Πατέρων ἀρχαίαν συνήθειαν· ὥστε τὴν ἁγίαν γῆν ἀναμορφωθῆναι καὶ τὰ κτήνη ἀπελαθῆναι τοῦ ἀμπελῶνος. Καὶ τὴν μὲν προαίρεσιν τῆς ἁγιότητός σου, ἀποστολικοῦ ζήλου πεπληρωμένην, ὑπερεπήνεσα· διασκεψάμενος δὲ εἰ καὶ δύναται περατωθῆναι, κατὰ τὴν μικρόνοιάν μου εὑρίσκω, ὡς οὐ δύναται ἄρτι ἀπαρτηθῆναι. Καὶ πῶς, ἐγὼ λέγω. Οἰκουμενικὴ ἀθροίζεται σύνοδος τῶν πέντε ἀποστολικῶν θρόνων συνηγμένων καὶ τῶν ὑπ αὐτοὺς ἀρχιερέων συνεπομένων· λείποντος δὲ θρόνου ἑνός, καὶ τότε τῶν ὑψηλοθρόνων, πῶς ἡ συνέλευσις ἐκείνη οἰκουμενικὴ λεχθήσεται σύνοδος; Πάντως δὲ οἶδεν ἡ ἁγιότης σου τὰ προνόμια τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, ὅτι ἀπὸ διαγνώσεως τῶν οἰκουμενικῶν Συνόδων τὰ πρεσβεῖα ἔχει τοῦ θρόνου τῆς Ῥώμης ὁ Κωνσταντινουπόλεως, καὶ ἰσοτίμως ἐκείνῳ τιμᾶται, καὶ κατ' οὐδὲν ἐλλείπει τῆς δόξης τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης. Εἰ γοῦν ταῦτα πάντως [οὕτως ἔχει] καὶ οὐκ ἄλλως, ἐλλειπὴς τῷ μεγίστῳ μέρει ἡ σύνοδος εὑρεθήσεται, μὴ καὶ τοῦ Πατριάρχου τῆς Κωνσταντινουπόλεως παρουσιάζοντος. Νῦν μὲν γὰρ τέως χηρεύει ὁ καθ' ἡμᾶς θρόνος τῆς Κωνσταντινουπόλεως. Πατριάρχου δὲ μὴ ἐπικηρυχθέντος, πῶς ἡ ὑπ' αὐτὸν Σύνοδος εἰς Ῥώμην ἐπιδημήσει; Πρῶτα μὲν γὰρ ἀπαράδεκτον ἔδοξε ταῖς προλαβούσαις ἁγίαις οἰκουμενικαῖς ἑπτὰ Συνόδοις εἰς Ῥώμην συνάγεσθαι παγκόσμιον σύνοδον. Ἡ γὰρ ἀρχαία συνήθεια τῶν ἁγίων Πατέρων ἀλλαχοῦ τοὺς τόπους τῶν συνελεύσεων ὥρισεν, εἰς Νίκαιαν δεύτερον, εἰς

Ἔφεσον ἅπαξ, εἰς Χαλκηδόνα ἅπαξ, καὶ τρὶς ἐν Κωνσταντινουπόλει· ὅπου γε καὶ εἰ εἰς τὴν Ῥώμην ἐδίδετο συνελθεῖν, πῶς Σύνοδος χωρὶς κεφαλῆς ἔμελλεν ἁπάντων; Οὔτε γὰρ τάγμα στρατιωτικὸν χωρὶς τοῦ στρατάρχου πόλεμον συγκροτήσειεν· οὔτε ποίμνιον τῆς μάνδρας ἐξελεύσεται μὴ προηγησαμένου τοῦ κτίλου· ἀλλ' οὐδὲ σμῆνος μελισσῶν τοῦ σίμβλου ἐκπεταθεῖ, εἰ μὴ ὁ βασιλεὺς αὐτῶν τῆς πτήσεως προηγήσαιτο. Καὶ κανών ἐστι συνοδικὸς μηδὲν τοὺς ἐπισκόπους ποιεῖν ἄνευ τοῦ πρώτου αὐτῶν· ἦγουν μήτε τοὺς ἐπισκόπους χωρὶς τῶν μητροπολιτῶν, μηδὲ τοὺς μητροπολίτας χωρὶς τῶν Πατριαρχῶν. Καὶ εἰκότως. Σώματι γὰρ ἡ Σύνοδος ἀναλογεῖ, κεφαλὴ δὲ ὁ Πατριάρχης. Οὔτε γοῦν σῶμα φρονίμως ἐνεργήσει ἄνευ κεφαλῆς, οὔτε Σύνοδος ἄνευ τοῦ προεξάρχοντος· καὶ τοῦτο παραστήσω τῇ ἁγιότητί σου, ἀπὸ τῶν πεπραγμένων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ Συνόδῳ, ἐν ᾗ καὶ ὁ ἁγιώτατος Πάπας Ῥώμης Λέων συνδιεγνωμόνει, οὗ ἡ ἐπιστολὴ στήλη ὀρθοδοξίας ἐκλήθη. Καὶ τί ἐν τῇ Συνόδῳ ταύτῃ διαπέπρακται; Πληρεστάτη μὲν ἦν ἡ Σύνοδος, ὅτι καὶ ἀπὸ τῶν πέντε θρόνων συνεκροτεῖτο· ἐκορυφοῦτο δὲ εἰς χλ' ἀρχιερεῖς· Ἐλαλήθη τὸ δόγμα, ἐκυρώθη δὲ καὶ παρὰ πάντων, ἐδέχθη, ὑπεγράφετο ὁ Τόμος παρά τε τῶν Ἰταλῶν ἐπισκόπων καὶ τῶν Κωνσταντινουπολιτῶν. Τέθνηκεν ὁ Ἀλεξανδρείας πρὶν ὑποσημήνασθαι· ὑπέγραψαν οἱ Πατριάρχαι ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων μετὰ τῶν Συνόδων αὐτῶν· ἐξητήθησαν οἱ Ἀλεξανδρείας ἐπίσκοποι ὑπογράψαι, οὐ συνέθεντο, στοιχοῦντες καὶ ταῦτα τῷ δόγματι· ἀλλ' ἐδικαιολογήσαντο ὡς εἰ μὴ χειροτονηθῇ πρότερον Πατριάρχης Ἀλεξανδρείας οὐχ ὑπογράφομεν. Ἐμοὶ δὲ δοκεῖ διὰ τὸν κανόνα τὸν λέγοντα, ἄνευ τοῦ πρώτου αὐτῶν οὐ ποιοῦσιν οἱ ἐπίσκοποι οὐδέν. Εἰ

γοῦν οἱ Ἀλεξανδρεῖς σύμψηφοι ὄντες τῷ τῆς τετάρτης Συνόδου δόγματι, καὶ αὐτοὶ καὶ ὁ πρῶτος αὐτῶν, ὅμως οὐκ ἐτόλμησαν ὑπογράψαι διὰ τὸ μὴ χειροτονηθῆναι ἀντὶ τοῦ τεθνηκότος ἕτερον, πῶς ἡμεῖς δογματικοὺς λόγους τολμήσωμεν κινῆσαι μὴ ἔχοντες Πατριάρχην, ἀλλὰ ὄντες ἀκέφαλοι; Εἴπερ οὖν βούλεται ἡ ἁγιότης σου κανονικὴν συγκροτηθῆναι σύνοδον, κανονικῶς καὶ ψηφισθήτω Πατριάρχης εἰς Κωνσταντινούπολιν, ἤγουν παρὰ τῆς οἰκείας Συνόδου, καθὼς καὶ οἱ λοιποὶ Πατριάρχαι παρὰ τῶν οἰκείων Συνόδων ψηφίζονται καὶ χειροτονοῦνται. Τέως καὶ ποῖοι τῶν Γραικῶν ἀρχιερέων εἰς τὴν σύνοδον ἀπαντήσουσιν; οἱ διωχθέντες παρὰ τῆς ἁγιότητός σου; Ὁ ἁγιώτατος Ἀθηνῶν, ὃν ἐδίωξεν ἡ ἁγιωσύνη σου χειροτονήσασα ἕτερον, εἰς τὸν ἐκείνου θρόνον; Ὁ Θεσσαλονίκης, ὃν ἐδίωξεν ἡ ἁγιωσύνη σου ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ ἀπέστειλεν ἕτερον; Ὁ Βουλγαρίας, ὃν ἐδίωξεν ἡ ἁγιωσύνη σου χειροτονήσασα ἕτερον; Ὁ Ζαράτας, ὃν ἐδίωξεν ἡ ἁγιωσύνη σου χειροτονήσα ἕτερον; Ὁ Πατρῶν, ὃν ἐδίωξεν ἡ ἁγιωσύνη σου χειροτονήσασα ἕτερον; ἵνα μὴ λέγω ἕκαστον τῶν παρὰ τῆς ἁγιωσύνης σου ἐκδιωχθέντων ἀρχιερέων ἀκανονίστως, οἱ δυτικοὶ πάντες μητροπολῖται καὶ ἀρχιεπίσκοποι παρὰ τῆς ἁγιωσύνης σου ἀπὸ τῶν οἰκείων θρόνων ἀπηλάθησαν, ὧν οἱ μὲν καὶ ζῶσιν ἔτι περιιόντες πλανῆται καὶ προσήλυτοι, καὶ τόπους ἐκ τόπων ἀμείβοντες, καὶ πανταχοῦ δεικνύμενοι ἔμπνοοι στύλοι τῆς ἀκανονίστου πράξεως· οὕτως μοιχοὺς κατὰ τῶν ἀσπίλων Ἐκκλησιῶν τοῦ Χριστοῦ ἐξαποστείλας, ἀποδιαζεύξας αὐτῶν οὓς συνήρμοσεν αὐταῖς τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ δὲ καὶ ἐπισκοπεῖ τις, τὴν ἁγιότητά σου ἔλεσθε, καὶ οὐκ ἐδιώξατε τὸν ταύτης πρόεδρον, ἀλλ' οἱ κοσμικοὶ ἄρχοντες, σὲ τὸν μέγαν καὶ πρῶτον ἀρχιερέα ζηλώσαντες, τὸν τοῦ μακαρίου Πέτρου

δμόϑρονον, ἀπήλασαν τῶν Ἐκκλησιῶν, παράδειγμα ἔχοντες τὰς πράξεις τῆς σῆς ἁγιότητος. Οὕτως οὐκ ἔστι συναχϑῆναι σύνοδον οἰκουμενικὴν τῆς Γραικικῆς Συνόδου μετὰ τοῦ Πατριάρχου αὐτῶν ἀποδιωχϑείσης παρὰ τῆς μεγάλης σου ἁγιότητος. Εἰ γὰρ ἐν τῇ τρίτῃ οἰκουμενικῇ Συνόδῳ ὁ Ἀντιοχείας Ἰωάννης τοποτηρητὰς αὐτοῦ ἐξαποστείλας καὶ ὁμολογήσας στέρξαι τὰ δεδογμένα τῇ Συνόδῳ, μετὰ μικρὸν ἐνδημήσας τὴν Σύνοδον ἐκύκησε, καὶ σχίσμα ἐποίησε, πῶς, ἔνϑα ἡ μείζων Σύνοδος οὐ παρουσιάσειεν, οὐκ ἔσται καὶ τὸ σχίσμα μεῖζον καὶ τὰ πεπραγμένα ἀκυρωϑήσονται, καὶ ὡς οὐδὲν λογισϑήσονται, κολοβῆς γενομένης τῆς συνόδου καὶ μὴ αὐτοτελοῦς; Ἔχει γὰρ οὕτως τὸ τῶν χριστιανῶν πλήρωμα· σώματι ἔοικε, κεφαλὴ δὲ τούτου ἐστὶν ὁ Χριστός· οἱ δὲ πέντε Πατριάρχαι αἰσϑήσεις πέντε εἰσὶ περὶ τὴν κεφαλήν· δι' αὐτῶν γὰρ ἡ κεφαλὴ τοῦ πληρώματος τῆς Ἐκκλησίας ὁ Χριστὸς καὶ ὁρᾷ καὶ ἀκούει καὶ ὀσφραίνεται εὐωδίας ὀσμήν, καὶ γεύεται τῆς ἀρετῆς ἡμῶν, καὶ ἅπτεται ἡμῶν. Ὥσπερ οὖν σῶμα αἰσϑητόν, εἰ καὶ καλὸν καὶ γενναῖόν ἐστι καὶ χάριεν, στερεῖται δὲ ἢ ὁράσεως ἢ ἀκοῆς ἢ ὀσφρήσεως κολοβόν ἐστι, καὶ τὸ εὖ εἶναι ἀπώλεσε· διὰ γὰρ τῶν αἰσϑήσεων τὸ εὖ εἶναι τοῖς ζώοις δεδώρηται· οὕτω καὶ ἡ Σύνοδος μὴ ἀπαρτιζομένη ἀπὸ τῶν πέντε Πατριαρχῶν ἢ τυφλὴ ἔσται, ἢ κωφή, ἢ ἄλλως ἀναίσϑητος κατὰ τὴν ἀναλογίαν τοῦ λείποντος Πατριάρχου. Ἐπεὶ δὲ ἔγραψεν ἡ ἁγιωσύνη σου, ὅτι κτήνη πειρῶνται ἀποκαϑεῖλαι τὸν ἀμπελῶνα Κυρίου Σαβαώϑ, ὤφειλε προσϑεῖναι καὶ ποταπὰ κτήνη, ἵνα καὶ πρὸς ἐκεῖνα παρασκευαζώμεϑα. Ἕκαστον γὰρ ϑηρίον ἰδιότροπον ἔχει τὴν ἄγραν. Ἄλλως γὰρ πολεμεῖται ὁ τῆς μανίας ἐπώνυμος Ἄρειος, καὶ ἑτέρως ὁ Λίβις Σαβέλλιος, καὶ ἑτέρως ὁ πνευματομάχος Μακεδόνιος. Ὁ μὲν

γὰρ Σαβέλλιος υἱοπατρίαν διδάσκων καταβάλλεται ἀπὸ τῆς διακεκριμένης Θεολογίας, καὶ τοῦ ἰδιαζόντως ἑκάστῃ ὑποστάσει πράξεις ἀπονενεμεῖσθαί τινας· ὁ δὲ Ἄρειος ἐλαττονῶν τὸν Υἱὸν καὶ τῆς τοῦ Πατρὸς οὐσίας ἀποδιιστῶν καὶ τρεῖς ἐκφύλους εἰσαγάγων οὐσίας ἀπὸ τῶν τοῦ ὁμοουσίου λόγων καταστρατηγεῖται. Μακεδόνιος δὲ δογματίζων τὸ Πνεῦμα ὑποχείριον κατακεντεῖται ἐν οἷς δείκνυται τὸ Πνεῦμα τὸ ἅγιον συνδημιουργοῦν καὶ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν· ὥσπερ καὶ ὁ λέγων τὸ Πνεῦμα ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ καταπαλαίεται παρὰ τοῦ ἐκτεθέντος παρὰ τῶν οἰκουμενικῶν ἑπτὰ Συνόδων ἁγίου Συμβόλου, καὶ ἀπὸ τοῦ Ἑλληνικὴν εἰσάγειν πολυαρχίαν τὸν εἰσάγοντα δύο ἀρχάς· μοναρχία γάρ ἐστι τοῖς χριστιανοῖς τὸ πρεσβευόμενον. Ὤφειλεν οὖν ἡ ἁγιότης σου δηλῶσαι ἡμῖν καὶ τὰ κτήνη τὰ τὸν ἀμπελῶνα λυμαινόμενα, ἵνα πρὸς αὐτὰ παρασκευασθῶμεν, ἀλλὰ μὴ ἔλθωμεν ἀπαράσκευοι, καὶ μάτην τοσοῦτον πόνον τῆς ὁδοιπορίας ἀνύωμεν. Εἰ οὕτω ταῦτα κανονικῶς οἰκονομήσει ἡ ἁγιότης σου καὶ σύνοδος ἀπηρτισμένη γενήσεται, καὶ τὰ ζιζάνια ἀνασπασθήσεται, ἃ ἔσπειρεν ὁ σπορεὺς τῆς κακίας, καὶ ἡ ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν δοξασθήσεται, καὶ μία ποίμνη ἔσται καὶ ποιμὴν εἷς, καὶ τὰ πρόβατα οὔτε ἄλληλα κερατίσουσιν οὔτε τοὺς ποιμένας.

Α. Κ. Δ.